ἐὰν ἀψηλαφήσῃ φησὶ μόνον, εὐθὺς καίονται. Σελαγοῖντ' ἄν] αἱ ναῦς δηλονότι. ταῦτα δὲ λέγει ἐκπληττόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην. ταῦτα δὲ εἰπών, τύπτει εὐθὺς τὸν Νίκαρχον. Μαρτύρομαι] ὁ Νίκαρχος τυπτόμενος ὑπὸ τοῦ Δικαιοπόλιδος τοῦτο λέγει. Φορυτόν] φρύγανον. χοινίον. δεσμὴν χόρτου συρφετώδους. ἢ φρυγανώδη ἀκαθαρσίαν. ὡς τὸ σποδῇ ἄμυδις φορυτόν τε καὶ ἄσπετα λύματ' ἀέρας. διὰ τοῦ μικροῦ. ἢ ψιαθῶδες πλέγμα ᾧ τοὺς στά-

A χυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγάνων στρωμνήν. Ὥσπερ κέραμον] οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσχερῶς καὶ μόλις κλῶνται. Ἐνδησάμενος ὦ βέλτιστε] διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα διστιχεῖς ἔχουσαν τὰς περιόδους. Τὴν ἐμπολήν.] ἐμπολὴ τὸ ἀπὸ τῆς πραγματείας κέρδος. Πυρορραγές] πυρορραγὴς κέραμος, ὁ ἐν πυρὶ ῥηγνύμενος. ὁ δὲ κέραμος πυρορραγὴς γινόμενος, σαθρὸν ἠχεῖ.

Κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
Φαίνειν ὑπευθύνους λυχνοῦχος, καὶ κύλιξ,
Τὰ πράγματ' ἐγκυκᾶσθαι.
Χο. Πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος κατ' οἰκίαν,
Τοσοῦτον δ' ἀεὶ ψοφοῦντι;
Δι. Ἰσχυρόν ἐστιν ὦ 'γάθ', ὥσ-
τ' οὐκ ἂν καταγείη ποτ' εἴ-
περ ἐκ ποδῶν
Κατωκάρα κρέμαιτό γε.
Χο. Ἤδη καλῶς ἔχει σοι.
Βοι. Μέλλω γέ τοι θερίδδειν.
Χο. Ἀλλ' ὦ ξένων βέλτιστε συν-
θέριζε καὶ τοῦτον λαβών,
Πρόσβαλ' ὅπου βούλει φέρων
Πρὸς πάντα συκοφάντην.
Δικαιοπ. Μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολού-
μενον,
Αἴρου λαβὼν τὸ κέραμον ὦ Βοιώτιε.
Βοι. Ὑπόκυπτε τὰν τύλαν ὦ Ἰσμήνιχε,
Χ ὅπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
Πάντως μὲν οἴσεις οὐδὲν ὑγιές. ἀλλ' ὅμως
Κἂν τοῦτο κερδάνῃς ἄγων τὸ φορτίον,
Εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

*Erit, malorum plurium*
B *Crater, trapetum litium:*
*Fax in reis quadruplandis, & calix in hac*
*Republ. obruenda.*
*CH. At quomodo fidat aliquis*
*Huiusmodi vasi, in domo*
*Sic perpetim strepenti?*
*DI. Satis validum'st, vt ne cito*
*Frangatur, si modò capite*
C *Misso deorsum,*
*Suspenderetur in pedes.*
*BOE. Volo metere deinceps.*
*CH. Ah mi hospes hunc vnà mete:*
*Prehende nequam: proyce:*
*Quocumque lubet, illum abripe,*
*Ad cuncta Sycophantam.*
*DI. Vix colligaui tandem hominem male per-*
D *ditum,*
*Sustolle & accipe vrceum Bœotie.*
*BOE. Humerum hùc inclina Ismeniche, & da*
*sedulò*
*Operam, vt asportes: nil prorsus boni feres:*
*Veruntamen hanc si mercem lucro apposueris:*
*Beatus eris, vel sycophantûm gratia.*

Bisetus. Κρατὴρ κακῶν] Σουΐδας παροιμίαν εἶναι λέγει, καὶ ἀντὶ τοῦ δοχεῖον κακῶν λαμβάνεσθαι. κρατὴρ δὲ κατὰ τὸν Εὐστάθιον εἶδος ἀγγείου, παρὰ τὸ ἐν αὐτῷ συγκεράσθαι οἶνον, λεγόμενον οἱονεὶ κερατήρ. καὶ κρατῆρες εἶδός τι τριπόδων. καὶ κρατηρίζειν, τὸ συμπίνειν.

Σχόλια. Τριπτὴρ δικῶν.] δέον εἰπεῖν ἀλῶν. ὁ δὲ εἶπε δικῶν. διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ πάντα δικάζοντα καὶ συκοφαντοῦντα. Φαίνειν ὑπευθύνους.] καὶ ἐπὶ τοῦ συκοφαντεῖν, τὸ φαίνειν νοεῖται. καὶ ἐπὶ τοῦ ποιεῖν φῶς διὰ τὸ τοιοῦτο καὶ λυχνοῦχον ἐπήγαγεν ὃν λέγομεν φανόν. ἢ λαμπτῆρα.

Bisetus. Καὶ κύλιξ] ὁ ποιητὴς ἐνταῦθα παίζει πρὸς τὸ τῆς κύλικος καὶ τοῦ ἐγκυκᾶσθαι ὄνομα. καὶ τοῦτο παροιμιακῶς λέγεται, καὶ ταυτόν ἐστι τῷ παγχρηστον ἄγγος, ἐν ᾧ πάντα τὰ πράγματα ἐγκυκᾶται.

Σχόλια. Πῶς δ' ἂν πεποιθοίη] διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορός. ὅτι πῶς ἂν θαρροίη τοιούτῳ ἀγγείῳ ἄνθρωπός τις πολὺ τοιοῦτον ἦχον ποιοῦντι. παρόσον καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεραμίων ἀναγκαῖόν τι βαλεῖν φοβούμενοι τὸ σαθρὸν αὐτῶν. ἄλλως. τῷ συκοφάντῃ λέγει πῶς ἂν θαρροίη τίς. διὰ

E τὸ καὶ αὐτὸν κράζοντα, μέγαν ἦχον ποιεῖν. Κατωκάρα.] κατὰ κορυφήν οὕτω δὲ οἱ Ἀττικοὶ ὑφ' ἓν λέγουσι. Ἤδη καλῶς ἔχει σοι.] ἤδη καλῶς ἐδεσμεύσατε. διπλῆ καὶ ἕπεται ὁμοία ἐκ τῶν ἑφθημιμερῶν τῇ πρώτῃ. Μέλλω γέ τοι θερίδδειν.] θερίδδειν. θερίζειν. καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων. ὅτι τὰ δράγματα τιθέασιν. ἢ διότι πολλοὶ ἐθέριζον διὰ τὸν πόλεμον. τινὲς δέ φασι τὸν Δικαιόπολιν εἰρηκέναι, μέλλοντα λαβεῖν τὰ τοῦ Βοιωτοῦ φορτία. Ἀλλ' ὦ ξένων βέλτιστε.] διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέ-
F τρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ. πρὸς πάντα δὲ συκοφάντην ἀντὶ τοῦ εἰπεῖν σωρόν. Μόλις γ' ἐνέδησα.] ὁ Δικαιόπολις λέγει τὸν συκοφάντην. διπλῆ δὲ καὶ εἴσθεσις εἰς ἰάμβους δύο. Τὰν τύλαν[ τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. ἄλλως. τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα. ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων. ὃν δὲ εἶπεν ἄνω Ἰσμηνίαν νῦν Ἰσμήνιχον ὁ Θηβαῖος καλεῖ. Χ' ὅπως κατοίσεις αὐτόν.] ἐπεὶ οἱ βαστάζοντες κεράμους, εὐλαβῶς πάνυ καὶ προσεχόντως βαστάζουσι.
G

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ
Σκηνὴ τρίτη.
ΑΓΓΕΛΟΣ ΤΟΥ ΛΑΜΑΧΟΥ, ΔΙΚΑΙΟΠΟΛΙΣ.
Τρίμετροι.

## ACTVS IV. SCENA
tertia.
NVNCIVS LAMACHI, DICÆOPOLIS,
*Senarij.*

Bisetvs.